# Salmos de Salomao 01

1 ἐβόησα πρὸς Κύριον ἐν τῷ θλίβεσθαί
1 Clamei ao Senhor no afligir

με εἰς τέλος πρὸς τὸν Θεὸν ἐν τῷ
meu, até fim; ao Deus no

ἐπιθέσθαι ἁμαρτωλούς 2 ἐξάπινα
atacar pecadores. 2 Subitamente,

ἠκούσθη κραυγὴ πολέμου ἐνώπιόν μου
ouviu-se grito de guerra diante de mim.

εἶπα ἐπακούσεταί μου ὅτι
Eu disse: "Ouvirá a mim, porque

ἐπλήσθην δικαιοσύνης 3 ἐλογισάμην ἐν
estou cheio de justiça". 3 Pensei em

καρδίᾳ μου ὅτι ἐπλήσθην δικαιοσύνης
coração meu que estou cheio de justiça,

ἐν τῷ εὐθηνῆσαί με καὶ πολλὴν
no prosperar meu e pleno

γενέσθαι ἐν τέκνοις 4 ὁ πλοῦτος αὐτῶν
ser em filhos. 4 A riqueza deles

διεδόθη εἰς πᾶσαν τὴν γῆν καὶ ἡ
espalhou-se por toda a terra, e a

δόξα αὐτῶν ἕως ἐσχάτου τῆς γῆς
glória deles até do fim da terra.

5 ὑψώθησαν ἕως τῶν ἄστρων
5 Exaltaram-se até as estrelas;

εἶπαν οὐ μὴ πέσωσιν 6 καὶ
disseram: "Não não cairemos". 6 E

ἐξύβρισαν ἐν τοῖς ἀγαθοῖς αὐτῶν
foram insolentes nos bens deles

καὶ οὐκ ἤνεγκαν 7 αἱ ἁμαρτίαι
e não suportaram. 7 Os pecados

αὐτῶν ἐν ἀποκρύφοις καὶ ἐγὼ οὐκ ᾔδειν
deles em segredos, e eu não sabia.

8 αἱ   ἀνομίαι αὐτῶν ὑπὲρ τὰ πρὸ αὐτῶν
8 As ilicitudes deles sobre as além deles

ἔθνη  ἐβεβήλωσαν  τὰ  ἅγια    Κυρίου
etnias; profanaram   as santas do Senhor

ἐν   βεβηλώσει
com  profanar.